ΑΝ. ἰδού, γεραιᾶς φιλτάτης ψαῦσον χερί.
ΟΙ. ὦ μῆτερ, ὦ ξυνάορ᾽ ἀθλιωτάτη.
ΑΝ. οἰκτρὰ πρόκειται, πάντ᾽ ἔχουσ᾽ ὁμοῦ κακά.
ΟΙ. Ἐτεοκλέους δὲ πτῶμα Πολυνείκους τε ποῦ;
ΑΝ. τώδ᾽ ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.
ΟΙ. πρόσθες τυφλὴν χέρ᾽ ἐπὶ πρόσωπα δυστυχῆ.
ΑΝ. ἰδού, θανόντων σῶν τέκνων ἅπτου χερί.
ΟΙ. ὦ φίλα πεσήματ᾽ ἄθλι᾽ ἀθλίου πατρός.
ΑΝ. ὦ φίλτατον δῆτ᾽ ὄνομα Πολυνείκους ἐμοί.
ΟΙ. νῦν χρησμός, ὦ παῖ, Λοξίου περαίνεται.
ΑΝ. ὁ ποῖος; ἀλλ᾽ ἦ πρὸς κακοῖς ἐρεῖς κακά;
ΟΙ. ἐν ταῖς Ἀθήναις κατθανεῖν μ᾽ ἀλώμενον.
ΑΝ. ποῦ; τίς σε πύργος Ἀτθίδος προσδέξεται;
ΟΙ. ἱερὸς Κολωνός, δώμαθ᾽ ἱππίου θεοῦ.
ἀλλ᾽ εἶα, τυφλῷ τῷδ᾽ ὑπηρέτει πατρί,
ἐπεὶ προθυμεῖ τῆσδε κοινοῦσθαι φυγῆς.
ΑΝ. ἴθ᾽ εἰς φυγὰν τάλαιναν· ὄρεγε χέρα φίλαν,
πάτερ γεραιέ, πομπίμαν
ἔχων ἔμ᾽ ὥστε ναυσίπομπον αὔραν.
ΟΙ. ἰδοὺ πορεύομαι, τέκνον,
σύ μοι ποδαγὸς ἀθλία γενοῦ.
ΑΝ. γενόμεθα γενόμεθ᾽ ἄθλιοί
γε δῆτα Θηβαιᾶν μάλιστα παρθένων.
ΟΙ. πόθι γεραιὸν ἴχνος τίθημι;
βάκτρα πρόσφερ᾽, ὦ τέκνον.
ΑΝ. τᾷδε τᾷδε βᾶθί μοι,
τᾷδε τᾷδε πόδα τίθει
ὥστ᾽ ὄνειρον ἰσχὺν ἔχων.
ΟΙ. ἰὼ ἰώ, δυστυχεστάτας φυγὰς
ἐλαύνων τὸν γέροντά μ᾽ ἐκ πάτρας.
ἰὼ ἰώ, δεινὰ δείν᾽ ἐγὼ τλάς.

---

1699. *χέρ᾽* C *χεῖρ᾽* fere ceteri. 1705. *μ᾽* om. C 1707. *ἱππείου* libri. 1708. *ποδί* C 1710. *χέρα*] Hermannus, *χεῖρα* libri. 1715. *ποδαγωγός* C *ἀθλίου* C 1716. *ἄθλιοι*] Porsonus, *ἄθλιαι* libri. 1717. *παρθένων* c *παρθένων δή* ceteri. 1718. *γηραιόν* C 1721. *τίθει πόδα* C 1723. *φυγᾶς* ABF 1724. *ἐλαύνει* c C 1725. *ἰὼ ἰὼ ἐγὼ δεινὰ τλάς* C